μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς νεφέλαις αὐτοῦ κωμῳδήσας. οὐδὲν δὲ χεῖρον ὑπομνησθῆναι τῶν Εὐπόλιδος. δεξάμενος δὲ Σωκράτης τὴν ἐπίδειξιν Στησιχόρου οἰνοχόην ἔκλεψεν. οἷον δὴ ἦν ὁρᾶν τὸν φιλόσοφον, τὸ ἐν φανερῷ μάλιστα σκεῦος κατακείμενον κλέπτοντα καὶ ὑφαιρούμενον.
Οὗτοι διδάσκουσιν ἀργύριον ἤν τις διδῷ.] καὶ

A τοῦτο ψεῦδος, διδάσκοντας χάριν, οὐδεὶς γὰρ μισθὸν ἐτέλει Σωκράτει. ἐπεὶ ἐκεῖνος ἔφασκε, μηδὲν εἰδέναι, ὥσπερ καὶ ὑπὸ Πυθίας σοφὸς ἐκλήθη. τοῦτο γὰρ αὐτοῦ πρῶτον ἐκέκινεν εἶναι σοφὸν, τὸ γινώσκειν ὅτι μηδὲν οἶδε. πῶς οὖν ἂν μισθὸν ἐπράττετο παρὰ τῶν συνόντων, ὁ λέγων περὶ αὐτοῦ ὅτι οὐδὲν οἶδα.

Φει. Εἰσὶ δὲ τινές. Στρ. Οὐκ οἶδ' ἀκριβῶς τοὔνομα.
Μεριμνοφροντισταὶ, καλοί τε κἀγαθοί.
Φει. Αἰβοῖ. πονηροί γ' οἶδα. τοὺς ἀλαζόνας.
Τοὺς ὠχριῶντας. τοὺς ἀνυποδήτους λέγεις.
Ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
Στρ. ἢ ἤ, σιώπα. μηδὲν εἴπῃς νήπιον.
Ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
Τούτων γενοῦ μοι, σχασάμενος τὴν ἱππικήν.
Φει. Οὐκ ἂν μὰ τὸν Διόνυσον εἰ δοίης γέ μοι
Τοὺς φασιανοὺς, οὓς τρέφει Λεωγόρας.
Στρ. Ἴθ' ἀντιβολῶ σ' ὦ φίλτατ' ἀνθρώπων ἐμοὶ,
Ἐλθὼν διδάσκου. Φει. Καὶ τί σοι μαθήσομαι;
Στρ. Εἶναι παρ' αὐτοῖς φασὶν ἄμφω τὼ λόγω.
Τὸν κρείττον' ὅστις ἐστὶ, καὶ τὸν ἥττονα.
Τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥσσονα,
Νικᾶν λέγοντά φασι τἀδικώτερα.
Ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
Ἃ νῦν ὀφείλω διὰ σὲ τούτων τῶν χρεῶν,
Οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
Φει. Οὐκ ἂν πιθοίμην. οὐ γὰρ ἂν τλαίην ἰδεῖν
Τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος.

PH. *Quinam illi?* ST. *Nomen haud noui exacte: boni,*
B *Et qui ærumnis conflictantur quam plurimis.*
PH. *Au, au: miseri isti, scio, quos dicas, pallidi,*
*Discalceati, iactabundi Philosophi:*
*Quorum genius est Socrates & Chærepho.*
ST. *St, st. tace: ne stolidum quiddam effuties.*
*Sed si patris tu rebus consultum cupis:*
*Age, fito mihi vnus ex istorum hominum grege.*
*Et equestre omitte rem.* PH. *Nō sane, mi pater,*
*Per Liberum: etiamsi Phasianos mihi dares,*
C *Quos educat in viuariis Leogoras.*
ST. *Obsecro te, mi fili, hominū mihi charissime:*
*Veni, & doceri te sine.* PH. *Quid docear, pater?*
ST. *Aiunt penes illos esse sermonum duo*
*Genera: vnum superius, & inferius alterum.*
*Et ex his alterum sermonem, qui fiet*
*Inferior, vincere perorando iniquissima.*
*Quod si ergo iniustum hunc sermonem addiscas mihi,*
D *Quæcunque tua causa conflaui debita,*
*Horum ne obolum quidem cuiquam ego persoluero.*
PH. *Nō sane obtemperauero: neque enim equites*
*Possim aspicere, ipse colore pallidus, & macer.*

Σχόλια. Ἀλαζόνας.] ἰδίως τοὺς ψεύστας ἐκάλουν. εἰκότως δὲ καὶ τοὺς φιλοσόφους, ἀλαζόνας καλεῖ. ἐπεὶ λέγειν ἐπαγγέλλονται, περὶ ὧν οὐκ ἴσασιν. ἢ ὅτι σεμνὰ ἔχοντες ἤθη, ἀλαζόνες δοκοῦσιν. ὠχριῶντες δὲ καὶ ἀνυπόδητοι, ἐπεὶ μόνης ἀρετῆς φροντίζοντες καὶ οὐ τρυφῆς, διώκουσι τὰ ἀπέριττα. πονηροὶ δὲ ἀντὶ τοῦ ἐπίπονοι. ἄθλιοι. Καὶ Χαιρεφῶν.] ἑταῖρος Σωκράτους ὁ Χαιρεφῶν. ὃς ἐκαλεῖτο καὶ νυκτερὶς, διὰ τὸ μέλας εἶναι καὶ ἰσχνόφωνος. Μηδὲν εἴπῃς νήπιον.] μηδὲν εὔηθες μηδὲ μειρακιῶδες, μηδ' ἀνόητον εἴπῃς. ἀπὸ τοῦ μηδὲ τὰ νήπια παιδία εἰδέναι τι. Ἀλλ' εἴ τι κήδει] ἤγουν φροντίζεις. πατρῴων δὲ ἀλφίτων, ἀντὶ τοῦ τῶν χρημάτων. ἢ τῆς πατρῴας οὐσίας. τὸ δὲ σχασάμενος, ἀντὶ τοῦ καταπαύσας. ἀπὸ μεταφορᾶς τῶν ἀποσχιζομένων καὶ διασχιζομένων ὑδάτων. ἄλλως. καταλύσας. κατασπάσας. ἀποστὰς τούτου. ὡς διαστεῖλαι καὶ σχίσαι τὸ ὕδωρ τῇ κώπῃ ἐρεσσούσῃ. καὶ Πίνδαρος κώπαν ἤδη μοι σχάσαι. καὶ Εὐριπίδης. σχάσον δὲ δεινὸν ὄμμα. ἄλλως. στήσας καταπαύσας. σχάσαι γὰρ τὸν κωπηλατοῦντα στῆσαι τὴν κώπην. Οὐκ ἂν μὰ τὸν Διόνυσον.] εὐλόγως τὸν Διόνυσον ὄμνυσι. τούτῳ γὰρ ἐπετελεῖτο τὰ Διονύσια. οἷς ἠγωνίζοντο οἵ τε τῆς τραγῳδίας καὶ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Τοὺς φασιανούς.] οἱ μὲν ἵππους, οἱ δὲ ὄρνεα, ἔνιοι δὲ ἵππους χάραγμα ἔχοντας φασιανοῦ ὡς ἀλεκτρυόνος. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τῇ τοῦ νεανίσκου σπουδῇ. οἱ δὲ περὶ Ἀρχίλοχον, ὀρνίθων γένος. οἱ δὲ ὅτι Φᾶσις ποταμός ἐστι Σκυθίας. ὅπου καλοὶ ἵπποι γίνονται. Λεωγόρας δὲ

E τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων περιαλγεῖ. ὦ θεῖε Μόρυχέ τε, νῦν γὰρ εὐδαίμων ἔφης καὶ κλαυκέτης. ἢ ψῆττα καὶ Λεωγόρας, οἳ ζῆτε τερπνὸν οὐδὲν ἐνθυμούμενοι. Εὔπολις ἐν Αὐτολύκῳ β. ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκέ φησιν. οἱ δὲ ἔχοντας τοῦ μηροῦ ἐγκεχαραγμένον φασιανόν. Λεωγόρας δὲ, ὄνομα κύριον ἑνὸς τῶν Ἀθήνησι πολιτευσαμένων τότε. πατὴρ δὲ ἐστὶν ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. μέμνηται δὲ αὐτοῦ ὡς ἱπποτρόφου. Ἀθήναιος. καὶ τὸ ἐν νεφέλαις δὲ ἐπὶ τῶν ὀρνίθων ἔγωγε ἀκούω καὶ οὐκ ἐπὶ ἵππων ὡς οἱ πολλοί. τοὺς φασιανοὺς οὓς
F τρέφει Λεωγόρας. δύναται γὰρ ὁ Λεωγόρας καὶ ἵππους τρέφειν, καὶ ὄρνεις φασιανούς. κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος, ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ. Ἴθ' ἀντιβολῶ.] πορεύου νῦν δὲ πείσθητί μοι. τὸ δὲ ἀντιβολῶ, παρακαλῶ Ἀττικῶς. Καὶ τί σοι μαθήσομαι.] οὐ γὰρ ἑαυτῷ ἔμελε μαθεῖν, ἤγουν δι' οἰκεῖον θέλημα, ἢ ὠφέλειαν, ἀλλὰ διὰ τὸ τοῦ πατρός. διὸ τὸ σοὶ λέγει. ἤγουν τί μαθήσομαι ὑπὲρ σοῦ. Ἄμφω τὼ λόγω.] δυϊκῶς ἔκλινε. φησὶ δὲ ἀμφοτέρους τοὺς λόγους τοὺς περὶ Σωκράτην ἐκπαιδεύεσθαι ἱκανῶς. Τὸν ἕτερον τοῖν λόγοιν.] τὸν δίκαιον
G νικᾶν. ὡς ἀγνοῶν δὲ τὸν δίκαιον εἶπε τὸν ἕτερον. ἐβούλετο γὰρ ἀδικίαν μανθάνειν. Τοὺς ἱππέας τὸ χρῶμα.] οὐ γὰρ ὑπομείναιμι ὁραθῆναι ὑπὸ τῶν ἱππέων ὠχρὸς καὶ διεφθαρμένος. ἐκόμων γὰρ οἱ ἱππεῖς. οἱ δὲ φιλόσοφοι κάτω κείρονται. διακεκναισμένος δὲ. ἠμαυρωμένος. αἰσχρός. καὶ διεφθαρμένος γενόμενος. οἱ γὰρ ἱππεῖς ἐν γυμνασίοις καὶ